## XXXIX

τὴν γοεραῖς πνεύσασαν ἐν ὠδίνεσσι Λαμίσκην
  ὕστατα, Νικαρέτης παῖδα καὶ Εὐπόλιδος,
σὺν βρέφεσιν διδύμοις, Σαμίην γένος, αἱ παρὰ Νείλῳ
  κρύπτουσιν Λιβύης ἠόνες εἰκοσέτιν.
ἀλλά, κόραι, τῇ παιδὶ λεχώια δῶρα φέρουσαι
  θερμὰ κατὰ ψυχροῦ δάκρυα χεῖτε τάφου.

## XL

Ἀρχέλεώ με δάμαρτα Πολυξείνην, Θεοδέκτου
  παῖδα καὶ αἰνοπαθοῦς, ἔννεπε, Δημαρέτης,
ὅσσον ἐπ' ὠδῖσιν καὶ μητέρα· παῖδα δὲ δαίμων
  ἔφθασεν οὐδ' αὐτῶν εἴκοσιν ἠελίων·
ὀκτωκαιδεκέτις δ' αὐτὴ θάνον, ἄρτι τεκοῦσα,
  ἄρτι δὲ καὶ νύμφη, πάντ' ὀλιγοχρόνιος.

# NICAENETUS

## I

ἡρῷσσαι Λιβύων, ὄρος ἄκριτον αἵτε νέμεσθε,
  αἰγίδι καὶ στρεπτοῖς ζωσάμεναι θυσάνοις,
τέκνα θεῶν, δέξασθε Φιλήτιδος ἱερὰ ταῦτα
  δράγματα καὶ χλωροὺς ἐκ καλάμης στεφάνους,
ἅσσ' ἀπὸ λικμητοῦ δεκατεύεται· ἀλλὰ καὶ οὕτως,
  ἡρῷσσαι Λιβύων, χαίρετε δεσπότιδες.